# ΑΚΟΛΟΥΘΙΑ ΒΙΟΣ ΚΑΙ ΠΑΡΑΚΛΗΣΙΣ

ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ

# ΕΙΡΗΝΗΣ

ΨΑΛΛΟΜΕΝΗ ΤΗ͂Ι Ε΄. ΤΟΥ ΜΗΝΟΣ ΜΑΙΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΙΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΚΔΟΣΙΣ **ΒΑΣ. Σ. ΡΗΓΟΠΟΥΛΟΥ**
ΘΕΣΣΑΛΟΝΙΚΗ

1948-1950

# ΤΥΠΙΚΟΝ

Καθίσταται γνωστὸν ὅτι ἡ μνήμη τῆς Ἁγίας Εἰρήνης δυνατὸν νὰ συμπέσῃ μεταξὺ τῆς Μεγάλης Πέμπτης καὶ τῆς Τετάρτης μετὰ τὴν Κυριακὴν τῆς Σαμαρείτιδος.

Α'

Ἐὰν συμπέσῃ ἡ μνήμη τῆς Ἁγίας ἀπὸ τῆς Μ. Πέμπτης μέχρι τῆς Κυριακῆς τοῦ Πάσχα, μετατίθεται καὶ ψάλλεται ἐν μιᾷ τῶν ἡμερῶν τῆς ἑβδομάδος τῆς Διακαινησίμου, κατὰ τὴν ἀντίστοιχον τυπικὴν διάταξιν τοῦ Ἁγίου Γεωργίου ΚΓ'. Ἀπριλίου, πλὴν ἐν τῷ ἑσπερινῷ πρῶτον δοξαστικὸν λέγεται τοῦ Πεντηκοσταρίου, ἐν τῷ ὄρθρῳ ψάλλεται ἡ Θ'. ᾠδὴ μόνη τοῦ Πάσχα, εἰς δὲ τὴν λειτουργίαν, Κοινωνικὸν Σῶμα Χριστοῦ μεταλάβετε.

Β'.

Ἐὰν συμπέσῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, ζήτει ἀπορούμενα εἰς τὴν ἀντίστοιχον τυπικὴν διάταξιν τοῦ Ἀποστόλου Μάρκου. Εἰς τὸν ἑσπερινὸν λέγονται καὶ τὰ Ἀναγνώσματα τῆς Ἁγίας.

Γ'.

Ἐὰν συμπέσῃ ἐν ἡμέρᾳ καθημερινῇ ἐκτὸς Σαββάτου, ἡ ἀκολουθία τῆς Ἁγίας ψάλλεται ὡς διατάττεται ἐν τῇ φυλλάδι. Ἐὰν συμπέσῃ ἐν Σαββάτῳ εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν δύο στιχηρὰ ἐκ τοῦ Πεντηκοσταρίου καὶ τέσσαρα τῆς ἁγίας. Τὰ λοιπὰ κατὰ τὴν τάξιν τῆς φυλλάδος Κοντάκιον λέγεται τῆς προλαβούσης Κυριακῆς.

Δ'.

Ἐὰν συμπέσῃ ἐν μιᾷ τῶν Κυριακῶν τοῦ Πεντηκοσταρίου, ζήτει ἀπορούμενα εἰς τὴν ἀντίστοιχον τυπικὴν διάταξιν τοῦ Ἁγίου Ἀθανασίου Β'. Μαΐου.

Ε'.

Ἐὰν συμπέσῃ τῇ Τετάρτῃ τῆς Μεσοπεντηκοστῆς ἡ ἀκολουθία τῆς ἁγίας συμψάλλεται ὡς ἑξῆς:

Εἰς τὸ Κύριε, ἐκέκραξα, στιχηρὰ τῆς Μεσοπεντηκοστῆς γ΄. καὶ γ΄. τῆς ἁγίας. Δόξα. Καὶ νῦν τῆς Μεσοπεντηκοστῆς. Προκείμενον, Ἀναγνώσματα δύο τῆς Μεσοπεντηκοστῆς καὶ ἓν τῆς ἁγίας· Ἀπόστιχα τῆς Μεσοπεντηκοστῆς. Δόξα τῆς ἁγίας. Καὶ νῦν τῆς Μεσοπεντηκοστῆς. Ἀπολυτίκιον Μεσούσης τῆς ἑορτῆς, τῆς Ἁγίας Εἰρήνης, πάλιν τὸ Μεσούσης. Καὶ ἀπόλυσις.

Τὸ πρωῒ ἡ λιτὴ τῆς ἁγίας, Τρισάγιον, Ἀπολυτίκιον Μεσούσης τῆς ἑορτῆς. Εἰς τὸ Θεὸς Κύριος, τὰ ἀπολυτίκια ὡς εἰς τὸν ἑσπερινόν. Ψαλτήριον καὶ ὁ πολυέλεος τῆς ἁγίας. Καθίσματα τῆς ἁγίας καὶ τῆς Μεσοπεντηκοστῆς ἀντὶ θεοτοκίων. Οἱ ἀναβαθμοὶ Ἐκ νεότητός μου, προκείμενον τῆς ἁγίας, ὡς καὶ Εὐαγγέλιον, Ἀνάστασιν Χριστοῦ, ὁ Ν΄. ψαλμός. Καὶ τὰ λοιπὰ τῆς φυλλάδος. Καταβασίαι Θάλασσαν ἔπηξας καὶ ἀκολούθως ἡ Θ΄. τῆς Μεσοπεντηκοστῆς μόνη. Ἐξαποστειλάριον τῆς ἑορτῆς, τῆς ἁγίας, πάλιν τῆς ἑορτῆς. Εἰς τοὺς αἴνους γ΄. τῆς Μεσοπεντηκοστῆς καὶ γ΄. τῆς ἁγίας. Δόξα, Καὶ νῦν τῆς Μεσοπεντηκοστῆς. Ἐὰν πανηγυρίζῃ ναὸς ἐπ᾽ ὀνόματι τῆς ἁγίας, Δόξα λέγεται τῆς ἁγίας, Καὶ νῦν τῆς Μεσοπεντηκοστῆς. Δοξολογία μεγάλη καὶ τὸ Μεσούσης τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, Ἀντίφωνα τοῦ Πάσχα ὡς καὶ τὸ εἰσοδικόν. Ἀπολυτίκιον τῆς Μεσοπεντηκοστης, τῆς ἁγίας, Κοντάκιον τῆς Μεσοπεντηκοστῆς. Ἀπόστολος τῆς ἁγίας καὶ καθεξῆς τὰ τῆς Μεσοπεντηκοστῆς.

Ἡ αὐτὴ τάξις τηρεῖται καὶ ἐὰν ἡ μνήμη τῆς ἁγίας συμπέσῃ τῇ ἑπομένῃ Τετάρτῃ, τῇ ἀποδόσει τῆς Μεσοπεντηκοστῆς, μὲ τὴν διαφορὰν ὅτι εἰς τὸν ἑσπερινὸν ἀναγνώσματα λέγονται τῆς ἁγίας· Εἰς τὴν λειτουργίαν Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἁγίας.

ΚΟΡΓΙΑΛΕΝΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΤΗ ΠΕΜΠΤΗ ΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ

Μνήμη τῆς Ἁγίας καὶ ἐνδόξου Μεγαλομάρτυρος

# ΕΙΡΗΝΗΣ

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ἓξ καὶ ψάλλομεν Στιχηρὰ προσόμοια τῆς Ἁγίας.

Ἦχος Α΄. Πανεύφημοι Μάρτυρες.

**Π**ορφύραν ἐξ αἵματος λαμπράν, τοῦ οἰκείου Πάνσεμνε, περιθεμένη ἀνέδραμες, πρὸς ὃν ἐπόθησας, Βασιλέα κτίστην, τοῦ παντὸς καὶ Κύριον, πρὸς τούτου τε τῆς νίκης τὸν στέφανον, ὄντως ἀπείληφας, σὺν αὐτῷ νῦν βασιλεύουσα, ὡς παρθένος καὶ Μάρτυς πολύαθλος.

**Π**υρὸς καταφλέγοντος ὁρμήν, ἤνεγκας Πανεύφημε, ξέσεις τε πάσας τοῦ σώματος, ἐνατενίζουσα, πρὸς τὰς ἀντιδόσεις, τὰς ἐκεῖσε πάνσεμνε, ἃς μόνοις Ἰησοῦς προητοίμασε, τοῖς ἀγαπήσασι καὶ θερμῶς αὐτὸν ποθήσασιν, ὡς νυμφίον ψυχῶν ὡραιότατον.

**Ε**θέλχθης τῷ ἔρωτι Χριστοῦ, καὶ Θεοὺς ἐμίσησας, ἐθνῶν καὶ ἄψυχα ξόανα, Εἰρήνη ἔνδοξε, καὶ θεογνωσίας, στήλην ἐμφανέστατα, σαυτὴν τοῖς καθορῶσιν ἀνέστησας, ὡς ἐναθλήσασα, καὶ τὸν δρόμον τελειώσασα, καὶ τὴν πίστιν, ἄμωμον τηρήσασα.

Ἕτερα στιχηρὰ τῆς Ἁγίας.
Ἦχος Δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

**Ω**ς παρθένον κειμήλιον, καὶ ἀνάθημα ἔνθεον, οἱ τεκόντες ἔθεντο παναοίδιμε, ἐν ὑπερῴῳ οἰκήματι, ἐξ οὗ δι᾽ ὀρνέων σε, ὁ νυμφίος προσκαλεῖ, εἰς νυμφῶνα πανάμωμε, τὸν οὐράνιον, ἐρασθείς σου τοῦ κάλλους, ὦ Εἰρήνη, ᾧ καὶ πίστει συνηρμόσω, καὶ τοῖς συμβόλοις ὑπέκυψας.

Ὡς ἐτρώθης τῷ ἔρωτι, τοῦ νυμφίου σου πάνσεμνε, πάντα κατεφρόνησας, ὡς ἐπίκηρα πλοῦτον καὶ δόξαν βασίλειον, τρυφὴν ἡδυπάθειαν, καὶ γονέων τὴν στοργήν, καὶ συντρίψασα ξόανα, ἠκολούθησας, τῷ καλοῦντι Εἰρήνη καὶ παρέστης, ὡς βασίλισσα παρθένε, πεποικιλμένη τοῖς στίγμασιν.

Ὡς μαρτύρων ἀγλάϊσμα, καὶ παρθένων ἀπάνθισμα, καὶ ἡμῶν τὸ μέγιστον ἐγκαλλώπισμα, μάρτυς Εἰρήνη πολύαθλε, συντήρησον ἅπαντας ἐν εἰρήνῃ σταθερᾷ τοὺς τιμῶντας τὴν μνήμην σου παναοίδιμε, καὶ παντοίων κινδύνων ἀρρωστίαις διαφύλαξον ἀτρώτους ταῖς πρὸς Θεὸν μεσιτείαις σου.

Δόξα. Ἦχος Δ'.

Τὴν σὴν ὑπεράνθρωπον ἄθλησιν, Εἰρήνη παναοίδιμε, οὐκ ἀνθρώπων μόνον ἐθαύμασαν τὰ ἔθνη, ἀλλὰ καὶ ἄλογος φύσις, καὶ πῦρ, καὶ ὕδωρ ἠδέσθησαν· ἵπποι μὴ ἐνεγκόντες τὴν πατρῴαν ὀργήν, σὲ μὲν ηὐλαβήθησαν μὴ προσειπόντες τὸ σύνολον, αὐτοῦ δὲ διελέγχοντες ἀνθρωπίνῃ φωνῇ τὴν χεῖρα κατέαξαν, ὃν καὶ φιλανθρώπως ἰάσω, χειραγωγήσας πρὸς τὴν εὐσέβειαν σὺν τῇ μητρί, καὶ ἄλλῳ πλήθει πολλῷ, δυνάμει τοῦ σοῦ νυμφίου Χριστοῦ, οὓς ὡς προῖκα δωροφορήσασα, καὶ πρώτη καλὴν ἀπαρχὴν αὐτῷ προσενέγκασα, πρεσβεύεις ἀπαύστως τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν τῆς ἑορτῆς, Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν τοῦ εἶναι εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς· οὕτω λέγει Κύριος ὁ ῥυσάμενός σε, ὁ Θεὸς Ἰσραήλ, ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν, τὸν δοῦλον τῶν ἀρχόντων. Βασιλεῖς ὄψονται αὐτὸν, καὶ ἀναστήσονται ἄρχοντες, καὶ προσκυνήσουσιν αὐτὸν ἔναντι Κυρίου, ὅτι πιστός ἐστιν ὁ ἅγιος τοῦ Ἰσραήλ, καὶ ἐξελέξατό σε, οὕτω



λέγει Κύριος· καιρῷ δεκτῷ ἐπήκουσά σε, καί ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασα σε, καὶ ἔδωκά σε, καὶ ἔθηκά σε εἰς διαθήκην Ἐθνῶν, τοῦ κατεστῆσαι τὴν γῆν, καὶ κατακληρονομῆσαι κληρονομίαν ἐρήμου, λέγοντα τοῖς ἐν δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύπτεσθε· ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πάσαι ταῖς τρίβοις ἡ νομὴ αὐτῶν· οὐ πεινάσουσιν οὐδὲ διψήσουσιν· οὐδὲ πατάξει αὐτοὺς ὁ καύσων οὐδὲ ὁ Ἥλιος, ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει αὐτούς.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μήτραν, καὶ ὡς νύμφη κατεκόσμησέ με κόσμῳ, καὶ ὡς γῆ αὔξουσα τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ ἐκφύει· οὕτως ἀνατελεῖ Κύριος δικαιοσύνην· καὶ εἰρήνη, καὶ ἀγαλλίαμα ἐναντίον τῶν ἐθνῶν· διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνοίσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, καὶ τὸ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται.

Καὶ ὄψονται τὰ ἔθνη τὴν δικαιοσύνην σου, καὶ πάντες οἱ βασιλεῖς τὴν δόξαν σου, καὶ καλέσει σε τὸ ὄνομα σου τὸ καινόν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό· καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου, καὶ οὐκέτι κληθήσῃ καταλελειμμένη, καὶ ἡ γῆ σου οὐκέτι κληθήσεται ἔρημος· σοὶ γὰρ κληθήσεται θέλημα τὸ ἐμόν, καὶ τῇ γῇ σου οἰκουμένη· ὅτι εὐδοκήσει Κύριος ἐν σοί, καὶ ἡ γῆ σου συνοικηθήσεται, καὶ ὡς συνοικῶν νεανίσκος σὺν παρθένῳ, οὕτω κατοικήσουσιν οἱ υἱοί σου μετὰ σοῦ, καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται ὁ Νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί.

Παροιμιῶν τὸ ἀνάγνωσμα.

Υἱέ, ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρῖνε πάντα

ὑγιῶς· ἄνοιγε σὸν στόμα, κρίνε δικαίως· διάκρινε πένητα καὶ ἀσθενῆ· γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα ἐστὶ λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἡ καρδία αὐτοῦ ἀνδρὸς αὐτῆς ἐπ' αὐτῇ· ἡ τοιαύτη σκύλου οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθά· καὶ οὐ κακὰ πάντα τὸν χρόνον.

Εὑρομένη ἔρια καὶ λῖνον, ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς· ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη, μακρόθεν συνάγει ἑαυτῆς τὸν πλοῦτον, καὶ ἀνίσταται ἐκ νυκτῶν· καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, και ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο· ἀπὸ δὲ τῶν καρπῶν αὐτῶν αὐτῆς κατεφύτευσε κτῆμα, ἀναζωσαμένης ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, εἴρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον· ἐγεύσατο, ὅτι καλὸν τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα· τὰς χεῖρας αὐτῆς ἐκτείνει πρὸς τὰ συμφέροντα, τοὺς πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον· θύραν δὲ αὐτῆς διήνοιξε πένητι, καρδίαν ἐξέτεινε πτωχῷ, οὐ φροντίσει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ· πάντες γὰρ οἱ παρ' αὐτῇ ἐνδεδυμένοι εἰσὶ δι' ὅσας στολάς, καὶ χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσων καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς, ἡνίκα ἂν καθέζηται ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων, καὶ κατοίκων τῆς γῆς· σινδόνας ἐποίησε καὶ ἀπέδοτο Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις, ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις· στόμα δὲ αὐτῆς διήνοιξε εὐνόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς, στεναὶ διατριβαὶ οἴκων αὐτῆς· σῖτον δὲ οὐκ ἔφαγεν· ἀνέστη τὰ τέκνα αὐτῆς, καὶ ᾔνεσαν αὐτήν. καὶ ὁ ἀνὴρ αὐτῆς ἐπῄνεσεν αὐτήν· πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν, πολλαὶ ἐκτήσαντο πλοῦτον, πολλαὶ εὕραντο δόξαν, οἱ δὲ καὶ ὑπερήρας πάσας, ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος οὐκ ἔστιν ἐν σοί· γυνὴ συνετὴ εὐλογεῖται· φόβον Κυρίου αὕτη αἰνείτω· δότε αὐτῇ ἀπὸ καρπὸν χειλέων αὐτῆς, καὶ αἰνείτω ἐν πύλαις αὐτῆς ὁ ἀνήρ.



Εἰς τὴν λιτὴν ἰδιόμελα. Ἦχος Α΄.

**Α**θλητικὸν στάδιον σήμερον πρόκειται, λαοὶ χορεύσωμεν, καὶ τὰ ἐν αὐτῷ τελούμενα παράδοξα πράγματα κατοπτεύσωμεν· ἄσπιλος γὰρ ἀμνὰς πρόκειται σφαγῇ ὑπὲρ τοῦ σφαγιασθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Εἰρήνη ἡ καλλιπαρθένος, καὶ θεόνυμφος· διὸ Τριάδος τῇ πίστει τὴν τῶν τυράννων ἔλυσεν ἀθεότητα, καὶ σὺν ἀγγέλοις χορεύουσα τῷ σωτῆρι πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Π**νευματικὴν χορείαν συγκροτήσωμεν τὰ πλήθη τῶν Ὀρθοδόξων ἐπὶ τῇ μνήμῃ, νῦν τῆς ἀθληφόρου Εἰρήνης, αὕτη γοῦν τὴν τοῦ θήλεος φύσιν εἰς ἀρρενότητα μεταβαλοῦσα, ὡς Ἰουδεὶθ ἠνδρίσατο κατὰ τοῦ Ὀλοφέρνους, διὸ καὶ ἐν σταδίῳ πάσχουσα ἔλεγε σέ, Νυμφίε μου, ποθῶ, καὶ τὸ σῶμά μου διὰ σὲ τοῖς ἀνόμοις παρέδωκα, ἀλλ' εἰσελεύομαι εἰς τὸν νυμφῶνα τὸν μέγαν καὶ θεάσομαι τὴν δόξαν σου φιλάνθρωπε.

Ἦχος Β΄.

**Α**ναθεῖσα ἑαυτὴν παντοδυνάμῳ νεύματι, κρατυνομένη τῷ ἔρωτι τοῦ Χριστοῦ, καὶ τὴν γεώδη καταλείψασα στοργήν, ἐνεδύσω τὴν λαμπάδα τῆς αἰωνίου ζωῆς, ὄλβιος, ὑπάρξασα θάλαμος, εἰς ὃν ἀγέλαι προσαναπαύονται, εἴσοδον εὑράμεναι τῆς αἰωνίου ζωῆς, μεθ' ὧν ἱκέτευε Χριστῷ, Εἰρήνη τρισόλβιε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος Γ΄.

**Χ**ορείας ἐγείρατε, φιλομάρτυρες, τῶν ἀγώνων ἐφέστηκεν ὁ καιρός, καὶ τῆς παρθενομάρτυρος Εἰρήνης ἡ ἐτήσιος μνήμη, πάντας εἰς δοξολογίαν προτρέπουσα Θεοῦ· ἀνδρείως γὰρ ἀνθισταμένη κατὰ τῶν τυράννων ἐχθρῶν τὸν παλαμναῖον δράκοντα γενναίως κατεπάτησε, καὶ τὸ στέφος ἤρατο τῆς ἀθλήσεως, καὶ παρρησίᾳ πρεσβεύει ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος Πλ. Α΄.

Τῇ παρθενικῇ σου θελχθεὶς ὡραιότητι ὁ βασιλεὺς τῆς δόξης Χριστὸς ὡς ἀμώμητόν σε νύμφην ἑαυτῷ ἡρμόσατο, συναφείᾳ ἀκηράτῳ, ἐν γὰρ τῷ θελήματι αὐτοῦ, παρασχόμενος τῷ κάλλει σου δύναμιν, κατ᾽ ἐχθρῶν τε καὶ παθῶν ἀήττητον ἔδειξεν, ἐγκαρτερήσασα αἰκίαις πικραῖς, καὶ βασάνοις δριμυτάταις, διπλοῦ στέφει δισσῶς σὲ κατέστεψε, καὶ παρέστησεν ἐκ δεξιῶν αὐτοῦ· ὡς Βασίλισσαν πεποικιλμένην, αὐτὸν δυσώπει, παρθενομάρτυς Εἰρήνη, τοῖς ὑμνηταῖς σου δωρήσασθαι Εἰρήνη, και σωτηρίαν, καὶ μέγα ἔλεος.

Καὶ νῦν τῆς ἑορτῆς.

Εἰς τὸν Στίχον στιχηρὰ τῆς ἁγίας.

Ἦχος Α΄. Τὸν οὐρανίων ταγμάτων.

Τῆς ἀθληφόρου Εἰρήνης, τὴν μνήμην σήμερον, ἐν ἐτησίοις ὕμνοις ἑορτάσωμεν πάντες φιλέορτοι ἐνδόξως, ἥτις Χριστῷ τῷ Κυρίῳ παρίσταται, ἐκδυσωποῦσα ἀπαύστως ὑπὲρ ἡμῶν τῶν ἐκ πόθου εὐφημούντων αὐτήν.

Στίχ. Ὑπομένων, ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Η Μαγεδὼ νῦν καυχάθω, ὅτι ἐξήνθησε, τῆς παρθενίας ἄνθος, τὸν θεόβλαστον, ὄντως, τὴν ἔνδοξον Εἰρήνην, ὑπὲρ ἀεὶ τῷ Κυρίῳ παρίσταται, ἐκ δυσωποῦσα ἀπαύστως ὑπὲρ αὐτῆς, παρρησίᾳ καὶ τοῦ Κόσμου παντός.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Τὴν ἱερὰν καὶ λαμπράν σου μνήμην δοξάζοντες, Εἰρήνη μακαρία, καὶ πιστῶς ἐκτελοῦντες, βοῶμέν σοι σὺν πόθῳ ῥῦσαι ἡμᾶς, τῆς φλογός, τῆς κολάσεως, καὶ τῶν βελῶν τοῦ Βελίαρ, ταῖς πρὸς Χριστὸν ἱκεσίας σου πανεύφημε.

Δόξα. Ἦχος Πλ. Β΄.

Δεῦτε φιλομάρτυρες πάντες ἐν τῷ Ναῷ τῆς ἀθληφόρου Εἰρήνης σήμερον ἀθροισθέντες, πνευματικῶς πανηγυρίσωμεν εὐωχούμενοι μυστικὴν νῦν, ἡμῖν Τράπεζαν, τὰς ἀριστείας καὶ τοὺς ἄθλους αὐτῆς πᾶσι προτίθεται, ὡς ἔδεσμα τερπνὸν καὶ ἐξαίρετον. Ἐνθέως οὖν κορεσθέντες, δοξάσωμεν τὸν παντοδύναμον Κύριον, τὸν ἰσχὺν αὐτῇ δόντα, ἀντιστῆναι τῷ ἀρχεκάκῳ δαίμονι, καὶ προθύμως τὰς σάρκας τοῖς τυράννοις ἐκδοῦσα διὰ τὸν Κύριον ἡ παναμώμητος. Ἧς ταῖς πρεσβείαις δώρησαι, ἡμῖν ὁ Θεός, τὸ μέγα σου ἔλεος.



Καὶ νῦν τῆς Ἑορτῆς.

Ἀπολυτίκια τῆς ἁγίας.

Ἦχος Δ΄. Ταχὺ προκατάλαβε.

Αγνείας λαμπρότησι, κρίνον ὡς εὔοσμον, ἐξήνθησας ἔνδοξε Εἰρήνη μάρτυς Χριστοῦ, στολαῖς μαρτυρίου σου, κάλλεσιν ὡραΐσθης, ἐπιγνώσεως Θείας, πλάνης δυσωδεστάτης ἀπελαύνουσα βλάβην, διό σου τὴν πανεύφημον μνήμην γεραίρομεν.

Ἕτερον. Ἦχος Α΄.

Ο Χριστὸς ἡ εἰρήνη σὲ Εἰρήνην ἐκάλεσε. Σὺ γὰρ τὴν εἰρήνην βραβεύεις τοῖς τελοῦσι τὴν μνήμην σου, καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, προστρέχουσι τῷ Θείῳ σου Ναῷ, καὶ πρεσβεύεις ὑπὲρ πάντων τῇ Τρισηλίῳ παρισταμένη θεότητι. Ἅπαντες οὖν χαρμονικῶς, τὴν μνήμην αὐτῆς τελέσωμεν, τὸν ἀντιδοξάσαντα αὐτὴν Χριστὸν μεγαλύνοντες.

Καὶ τῆς ἑορτῆς. Καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν Α΄. Στιχολογίαν κάθισμα.

Ἦχος Πλ. Δ΄. Τὴν σοφίαν καὶ λόγον.

Τὴν οὐράνιον νύμφην τοῦ ποιητοῦ, καὶ ἀκήρατον κόρην τοῦ λυτρωτοῦ, Εἰρήνην τιμήσωμεν, τὴν ἀμνάδα τὴν πάντιμον, τὴν καὶ μετὰ πότμον ἐν νεφέλαις ἀρθεῖσαν, Μαγεδῶν ἐκ πόλεως, καὶ εἰς Ἔφεσον φθάσασαν, ἔνθα

τοῖς σημείοις καὶ τοῖς τέρασι πάντας ἐνθέως ἐξέπληξας, καὶ τὴν πίστιν ἐκήρυξας, ἀθληφόρε ἀήττητε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα, τό αὐτό. Καὶ νῦν τῆς ἑορτῆς.
Μετὰ τὴν Β'. Στιχολογίαν κάθισμα.
Ἦχος Α'. Τοῦ λίθου σφραγισθέντος.

Καλλιμάρτυς Εἰρήνη, καὶ Χριστοῦ Νύμφη ἄφθορε, σὺ αὐτῷ παρεστῶσα ὡς ὡραία καὶ πάγκαλος, ὡς λίθους φαιδροὺς καὶ διαυγεῖς, τὰ στίγματα φέρουσα σαρκός, καὶ αἱμάτων τὴν πορφύραν, ὑπέρ, ἡμῶν ἀπαύστως πρέσβευε. Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ σὲ ἀναδείξαντι λαμπρῶς, Παρθένων ὄντως καλλονὴν καὶ Μαρτύρων καύχημα.

Δόξα, τὸ αὐτό. Καὶ νῦν τῆς ἑορτῆς.
Μετὰ τὸν Πολυέλεον κάθισμα.
Ἦχος Δ'. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγησαν ἁγνή, μάρτυς Εἰρήνη οἱ χοροί, τῶν ἀγγέλων καὶ βροτῶν, φύσις ἐξέστη ἐπὶ σοί, πῶς τὸν ἀρχέκακον δράκοντα κατεπάτησας, ὡραίοις σου ποσὶ καὶ κατηδάφισας, καὶ πλήθη ἀσεβῶν ἐχειραγώγησας, καὶ διαδήματι κάλλους παρὰ Χριστοῦ τοῦ Νυμφίου σου ἐστέφθης· διὸ αἰτοῦμεν, μὴ ἐπιλάθου καὶ ἡμῶν τῶν τιμώντων σοι.

Δόξα, τὸ αὐτό. Καὶ νῦν τῆς ἑορτῆς.
Οἱ Ἀναβαθμοί, τὸ Α'. Ἀντίφωνον τοῦ Δ'. Ἤχου.
Προκείμενον. Ἦχος Δ'.
Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.
Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.
Πᾶσα πνοή.
Εὐαγγέλιον κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν



Σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν. Ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδίσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν Ἀγγέλων αὐτοῦ· καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. Ἀμὴν λέγω ὑμῖν. Εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Ὁ Ν'. Δόξα. Ταῖς τῆς ἀθλοφόρου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ὁ στίχος. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός. Καὶ τὸ ἰδιόμελον.
Ἦχος Β'. Ἀναθεῖσα ἑαυτὴν. (Ζήτει ὄπισθεν εἰς τὴν λιτήν).
Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Κύριε, ἐλέησον ΙΒ'. Καὶ οἱ κανόνες, εἷς τῆς ἑορτῆς ἐκ τοῦ Πεντηκοσταρίου καὶ ὁ ἑπόμενος τῆς ἁγίας, οὗ ἡ ἀκροστιχίς.

Σαῖς με προσευχαῖς μάρτυς Εἰρήνη σκέπε.
Ὠδὴ Α'. Ἦχος Δ'. Ἄσομαί σοι. Κύριε.

Στέφανος ὑπάρχων τῆς Ἀθληφόρου, ταύτης Χριστὲ ταῖς πρεσβείαις, εἰρήνην τῷ κόσμῳ καὶ δόξαν τὴν ἀμάραντον, τοῖς ὑμνοῦσί σε δώρησαι.

Αἴγλη διαλάμπουσα παρθενίας, καὶ κοσμουμένη τῷ κάλλει, τῆς σῆς μαρτυρίας. Εἰρήνη μεγαλώνυμε, σῷ Νυμφίῳ παρίστασαι.

Ἵλεων γενέσθαι ταῖς Ἐκκλησίαις, τὸν σὸν δυσώπει Νυμφίον, Εἰρήνη θεόφρον, καὶ πταισμάτων τὴν ἄφεσιν, παρέχειν τοῖς ὑμνοῦσί σε.

Θεοτόκιον.

Σάρκα γεγονότα τὸν Θεὸν Λόγον, καὶ πεφηνότα καθ' ἡμᾶς, Ἁγία Παρθένε, ἀφράστως ἀπεκύησας, ὑπὲρ λόγον καὶ ἔννοιαν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Καταβασία. Ἀναστάσεως ἡμέρα.
Ὠδὴ Γ΄. Τόξον δυνατῶν ἠσθένησε.

Μύρου κενωθέντος αἴσθησιν, τοῦ τὴν οἰκουμένην εὐωδιάσαντος χάριτι, δεξαμένη ἀνεπτερώθης, πρὸς τὸν τούτου πόθον ἔνδοξε.

Εσχες τὸν Θεὸν συλλήπτορα, ἐν τοῖς σοῖς ἀγῶσι, καὶ συνασπίζοντα Πάνσοφε, διὰ τοῦτο στεφανωθεῖσα, τοὺς τυράννους κατεπάλαισας.

Πύργος ἀρετῶν ἀκλόνητος, καὶ θεοσεβείας κατοικητήριον γέγονας, καὶ ἀνδρείας καὶ σωφροσύνης, ἐνδιαίτημα Πανεύφημε.

Θεοτόκιον.

Ρέων μέχρι σοῦ ὁ θάνατος, ἔστη προσβαλὼν τῷ ἐκ σοῦ τεχθέντι Πανάμωμε· διὰ τοῦτο ἀθανασίας, ἀπαρχὴν σε ὀνομάζομεν.

Καταβασία. Δεῦτε πόμα πίωμεν.

Κάθισμα τῆς Ἁγίας. Ἦχος Α΄. Τὸν τάφον σου Σωτήρ.

Τῷ κάλλει σου Χριστέ, ἡ Παρθένος τρωθεῖσα, παρέδραμε σπουδῇ, τὰ ὁρώμενα πάντα, καὶ πᾶσαν τὴν τοῦ σώματος, εὐμορφίαν ἐκδέδωκε, ταῖς κολάσεσι, καὶ ταῖς πικραῖς τιμωρίαις, ἀφανίζεσθαι· ἣν εἰς ὡραίους νυμφῶνας, εἰσήγαγες Δέσποτα.

Δόξα. Ἦχος Πλ. Δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Οἱ ἀγῶνές σου Σεμνὴ καὶ τὰ ἆθλα, οἱ ἱδρῶτές σου ἁγνὴ καὶ τὰ θαύματα ἐχθροῦ κατέβαλον Εἰρήνη ὀφρύν. Κυρίου γὰρ Νυμφίον σου ἐκ καρδίας ποθοῦσα, οὐ μάστιγας, οὐ θάνατον, δι᾽ αὐτὸν ἐπτοήθης, ἀλλ᾽ ἀνετίθης ὅλη πρὸς Θεοῦ, τῆς εὐσεβείας φοροῦσα τὸν στέφανον.

Καὶ νῦν. Τῆς Ἑορτῆς.
Ὠδὴ Δ΄. Τῆς σῆς ἐπὶ τῆς γῆς παρουσίας.

Ο τὴν εἰρήνην σοι βραβεύων εἰρηνώνυμε, δι᾽ αὐτὸν μαχομένην σε θεώμενος, ἀνδροπρεποῦς φρονήματος. Μάρτυς καὶ δυνάμεως ἔπλησε.



Συντονωτάταις προθυμίαις ὑπερβέβηκας τὸ τοῦ θήλεως χαῦνον παμμακάριστε, καὶ σταθερῶς διήλεγξας, Μάρτυς τοὺς τῇ πλάνῃ δουλεύοντας.

Ενθεωτάτην καρτερίαν ἐπιδέδειξαι, καὶ τυράννων τὸ θράσος καταβέβληκας, τῷ σῷ Νυμφίῳ κράζουσα· δόξα τῇ δυνάμει σου Κύριε.

Υμνολογίαις ἀσιγήτοις καὶ δεήσεσι, τὸν Δεσπότην Θεόφρον ὑμνολόγησας, καὶ πρὸς αὐτὸν ἀνέδραμες, δόξαν ὀψομένη τὴν ἄφραστον.

Θεοτόκιον.

Χαρμονικὴν σοι γεγηθότες φωνὴν Πάναγνε, διὰ σοῦ οἱ σωθέντες ἀνακράξομεν· χαῖρε Παρθένε πάνσεμνε, χαῖρε Θεοτόκε πανύμνητε.

Καταβασία Ἐπὶ τῆς θείας φυλακῆς
Ὠδὴ Ε΄. Τὸν φωτισμόν σου Κύριε.

Ανδρειοτέρῳ Ἔνδοξε φρονήματι Χριστὸν Θεὸν τῶν ὅλων τρανῶς ὡμολόγεις· λόγῳ δὲ στερρῷ τοὺς ἀντιπάλους, Ἀθλοφόρε κατῄσχυνας.

Ιχνηλατεῖν ἐπόθησας τὸ πάθος τοῦ Χριστοῦ, καὶ τῇ μιμήσει θερμῶς ἠκολούθεις, ἀγωνιστικῶς ὑπεραθλοῦσα, τοῦ Δεσπότου Πανόλβιε.

Στέφη Μαρτύρων Ἔνδοξε, προσήνεγκας Χριστῷ, τῇ σῇ σοφίᾳ καὶ θεολογίᾳ, τούτοις ἀληθῶς μυσταγωγοῦσα, καὶ τῷ λόγῳ τῆς χάριτος.

Θεοτόκιον.

Μεμυημένοι μυστήριον συλλήψεως τῆς σῆς, καὶ τοῦ ἀφράστου καὶ θείου σου τόκου σὲ πανευσεβῶς ὑμνολογοῦμεν, Θεοτόκε πανύμνητε.

Καταβασία. Ὀρθρίσωμεν ὄρθρον βαθέος.
Ὠδὴ ΣΤ΄. Ἐβόησε, προτυπῶν.

Ανώρθωσας τῆς προμήτορος Εὔας τὴν ἔκπτωσιν, Ἀθληφόρε, τοῦ ἐχθροῦ καθελοῦσα τὴν δύναμιν, καὶ καταβαλοῦσα, τὴν ἐκείνου ὀφρὺν θείᾳ χάριτι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

Ρωμαλέον, κεκτημένη, Εἰρήνη τὸ φρόνημα τοῖς τυράννοις, ἀντιτάξω ψυχῆς γενναιότητι, καὶ στεφάνῳ νίκης πρὸς Χριστοῦ τοῦ Θεοῦ ἐστεφάνωσαι.

Τῷ αἵματι, τῆς ἀθλήσεως Μάρτυς φαιδρότερον ἀπειργάσω τὸ τῆς φύσεως κάλλος τὸ ἄχραντον, γενικοὺς ἀγῶνας, ὑποστᾶσα στερρῶς καλλιπάρθενε.

Θεοτόκιον.

Ὑπέφηνε τὸ μυστήριον σοῦ τῆς κυήσεως, ὁ Θεόπτης, καιομένην τὴν βάτον θεώμενος, καὶ μὴ φλεγομένην, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κοντάκιον. Ἦχος Γ'. Ἡ Παρθένος σήμερον.

Παρθενίας κάλλεσι, πεποικιλμένη παρθένε, καὶ Μαρτύρων στέμμασι στεφανωθεῖσα Εἰρήνη, αἵματι τοῦ μαρτυρίου ἐρραντισμένη, θαύμασι καταστεφθεῖσα τῶν ἰαμάτων, εὐσεβῶς Μάρτυς ἐδέξω, βραβεῖον νίκης τῆς σῆς ἀθλήσεως.

Οἶκος.

Τοῦ Νυμφίου Χριστοῦ ἔρωτι, Παναοίδιμε ἀπὸ βρέφους σεμνὴ πυρποληθεῖσα ἔδραμες δορκὰς ὡς διψῶσα πηγαῖς ἀειρρύτοις, καὶ τῇ ἀθλήσει δὲ σαυτὴν συντηρήσασα, ἐν τῷ ἀφθάρτῳ, ὄντως τοῦ Κτίστου σου θαλάμῳ ἔνδοξε, ὡς νύμφη εὐκλεής, ἐστολισμένη, πεποικιλμένη, εἰσῆλθες ὡς ἐκλεκτή, στεφανηφόρος, ὁραθεῖσα, ἐξ ἀφθάρτου νυμφίου δεξαμένη, ὡς χρυσίον, βραβεῖον νίκης τῆς σῆς ἀθλήσεως.

ΤΩ ΑΥΤΩ ΜΗΝΙ Ε'. ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΕΙΡΗΝΗΣ

Στίχοι. Ξίφει θανοῦσα, καὶ βιώσασα ξένως.
Εἰρηνικῶς τέθνηκας αὖθις Εἰρήνη.
Εἰρήνη τμηθεῖσα, ἀνέγρετο καὶ θάνε πέμπτῃ.

Εἰρήνη, ἡ Ἁγία αὐτη Μεγαλομάρτυς ἦτο μονογενὴς θυγάτηρ Βασιλίσκου καὶ Λικινίας, καταγομένη ἐκ τῆς



πόλεως Μαγεδὼν καὶ ἀκμάσασα κατὰ τὸ ἔτος 315, ὠνομάσθη δὲ πρότερον ὑπὸ τῶν γονέων της Πηνελόπη. Ἐπειδὴ δὲ ἦτο ὡραία καὶ ὑπερέβαλλε κατὰ τὸ κάλλος ὅλας τὰς συγχρόνους της κόρας, διὰ τοῦτο διέμενεν ἐπὶ ὑψηλοῦ τινος πύργου, κτισθέντος παρὰ τοῦ πατρός της, μετὰ δεκατριῶν ὡραίων θεραπαινῶν, διάγουσα ἐν μέσῳ πλούτου πολλοῦ καὶ ἔχουσα θρόνον, τράπεζαν καὶ λυχνίαν κατεσκευασμένα ἐκ χρυσοῦ. Ὅταν δὲ ὡρίσθη παρὰ τοῦ πατρὸς της νὰ μένῃ ἐν τῷ πύργῳ, ἦτο ἑξαετὴς καὶ ἐπαιδαγωγεῖτο καὶ ἐδιδάσκετο ὑπό τινος γέροντος, Ἀπελλιανοῦ ὀνομαζομένου, τὸν ὁποῖον διώρισεν ὁ πατὴρ της Λικίνιος, ἵνα ἐπιτηρῇ ταύτην.

Μίαν ἡμέραν εἶδεν ἡ Ἁγία περιστερὰν εἰσελθοῦσαν εἰς τὸν πύργον καὶ φέρουσαν κλάδον ἐλαίας εἰς τὸ στόμα της, τὸν ὁποῖον ἀπέθεσεν ἐπὶ τῆς χρυσῆς τραπέζης. Καθ' ὅμοιον τρόπον εἶδε καὶ ἀετὸν κρατοῦντα διὰ τοῦ ράμφους του στέφανον, πεπλεγμένον μὲ ἄνθη, τὸν ὁποῖον καὶ οὗτος ἀφῆκεν ἐπὶ τῆς αὐτῆς τραπέζης καὶ ἔπειτα εἶδε κόρακα εἰσελθόντα ἐκ τοῦ ἄλλου παραθύρου καὶ κρατοῦντα ὄφιν, τὸν ὁποῖον ἀπέθηκεν ἐπὶ τῆς ἰδίας τραπέζης. Βλέπουσα δὲ ταῦτα ἡ κόρη, ἠπόρει καὶ ἐσυλλογίζετο τί ἄρα ταῦτα δηλοῦσιν.

Τότε ὁ γέρων Ἀπελλιανός, ὁ διδάσκαλός της, ἐξήγησε ταῦτα, εἰπὼν πρὸς ταύτην. Ἡ μὲν περιστερὰ δηλοῖ τὴν παιδείαν τῆς γνώμης, ὁ δὲ κλάδος ἐλαίας σημεῖον θαυμαστὸν γεγονότων καὶ τύπον βαπτίσματος, ὁ ἀετός, ἐπειδὴ εἶναι βασιλεὺς τῶν πτηνῶν, προεικονίζει, διὰ τοῦ στεφάνου, μέλλουσαν νίκην εἰς ἐκλεκτὰς καὶ ἀγαθὰς πράξεις· ὁ δὲ κόραξ διὰ τοῦ ὄφεως δηλοῖ, ὅτι θέλεις δοκιμάσει θλίψιν καὶ ταλαιπωρίαν. Ἵνα δὲ συντόμως εἴπωμεν, διὰ τῆς ἐξηγήσεως, τὴν ὁποίαν ἔδωκεν ὁ Ἀπελλιανός, ἀπεκάλυπτε τὸν ἀγῶνα τοῦ μαρτυρίου, τὸ ὁποῖον ἔμελλεν ἡ Ἁγία νὰ τελειώσῃ, διὰ τὴν ἀγάπην της πρὸς τὸν Θεόν. Τὰ δὲ ἐν συνεχείᾳ ἐξιστορούμενα περὶ τῆς Ἁγίας ταύτης, πράγματι εἶναι παράδοξα καὶ ὑπερφυσικά.

Λέγουσι, δηλαδή, ὅτι Ἄγγελος Κυρίου ἔδωκεν εἰς αὐτὴν τὸ ὄνομα καὶ ἀντὶ Πηνελόπης μετωνόμασεν αὐτὴν Εἰρήνην καὶ ἀκολούθως ὅτι Ἄγγελος Κυρίου τὴν ἐδίδαξε τὴν τοῦ Χριστοῦ πίστιν καὶ προεῖπεν εἰς αὐτήν, ὅτι πολλαὶ μυριάδες ψυχῶν θὰ σωθῶσι δι' αὐτῆς καὶ ὅτι θέλει ἔλθη πρὸς αὐτὴν παραδόξως ὁ Ἀπόστολος Τιμόθεος, ὁ τοῦ Παύλου μαθητής, ὅστις θέλει βαπτίσῃ αὐτήν. Ὅταν δὲ ὅλα ταῦτα ἐπραγματοποιήθησαν, τότε ἡ μακαρία Εἰρήνη ἐκρήμνισε τὰ εἴδωλα τοῦ πατρός της, συντρίψασα ταῦτα. Πρῶτον λοιπὸν ἐξητάσθη ὑπὸ τοῦ ἰδίου πατρός της, ὁ ὁποῖος, ὡς εἶδεν ὅτι αὐτὴ ἐπέμενεν εἰς τὴν πίστιν τοῦ Χριστοῦ, προσέταξε νὰ τὴν δέσωσι καὶ οὕτω δεδεμένην νὰ καταπατήσωσιν οἱ ἵπποι. Εἷς δὲ ἐκ τῶν ἵππων, αὐτῶν, ἀντὶ νὰ βλάψῃ τὴν Ἁγίαν, ἐξηγριώθη κατὰ τοῦ πατρός της καὶ τοῦτον ρίψας κατὰ γῆς, συνέτριψε τὴν δεξιάν του χεῖρα. Οὕτως, αὐτὸν μὲν ἐθανάτωσε, τὴν δὲ Ἁγίαν ἐμακάρισε μὲ ἀνθρωπίνην φωνήν.

Λυθεῖσα δὲ ἡ Μάρτυς ἐκ τῶν δεσμῶν, παρεκλήθη ὑπὸ τῶν παρεστώτων καὶ προσευχηθεῖσα ἀνέστησε τὸν πατέρα της, ὁ ὁποῖος ἐπίστευσεν εἰς τὸν Χριστόν μετὰ τῆς συζύγου του καὶ τριῶν ἄλλων χιλιάδων ἀνθρώπων, οἵτινες ἅπαντες ἐδέχθησαν τὸ Ἅγιον Βάπτισμα. Ὁ δὲ πατὴρ της ἐγκαταλείψας μετὰ ταῦτα τὴν βασιλείαν, κατῴκησεν εἰς τὸν πύργον ἐκεῖνον, τὸν ὁποῖον ἔκτισε διὰ τὴν θυγατέρα του καὶ ἐκεῖ διῆλθε τὸ ὑπόλοιπον τῆς ζωῆς του ἐν μετανοίᾳ.

Ἀποθανόντος δὲ τοῦ πατρός της, ἐγένετο ἄλλος βασιλεύς, Σεδεκίας ὀνομαζόμενος, ὁ ὁποῖος ἠνάγκασε τὴν Ἁγίαν νὰ θυσιάσῃ εἰς τὰ εἴδωλα. Ἐπειδὴ ὅμως αὐτὴ οὐδόλως ἐπείθετο, ἐπρόσταξε καὶ ἔρριψαν ταύτην τὴν μακαρίαν πρηνῆ, ἐντὸς βαθυτάτου λάκκου, ὅπου εὑρίσκοντο διάφορα ἑρπετὰ καὶ δηλητηριώδεις ὄφεις. Ἡ δὲ Ἁγία, ἂν καὶ ἔμεινεν ἐκεῖ δεκατέσσαρας ἡμέρας, ὅμως ἐξῆλθεν ἀβλαβής. Ὅθεν ἐπριόνισαν μὲν αὐτῆς τοὺς πόδας, δι' ἐπιστασίας ὅμως Θείου Ἀγγέλου κατέστη πάλιν ὑγιής. Ἔπειτα ἔδεσαν αὐτὴν εἰς τροχόν, τὸ δὲ ὕδωρ,



τὸ ὁποῖον ἐκίνει τὸν τροχόν, κάτω φερόμενον, ἐσταμάτησε πάραυτα, ἡ δὲ Ἁγία ἔμεινεν οὕτω τελείως ἀβλαβής. Ἐξ αἰτίας δὲ τοῦ τοιούτου θαύματος ἐπίστευσαν εἰς τὸν Χριστὸν ὀκτὼ χιλιάδες ψυχαί. Ἀφ' οὗ δὲ ὁ βασιλεὺς Σεδεκίας ἐξέπεσε τῆς βασιλείας καὶ ὁ υἱός του Σαβὼρ ἐπολέμει τοὺς ἐκθρονίσαντας τὸν πατέρα του, τότε ἡ Ἁγία Εἰρήνη συνήντησεν ἐκτὸς τῆς πόλεως Μαγεδὼν τὸν Σαβὼρ καὶ τὸ στράτευμα αὐτοῦ. Ὡς δὲ προσηυχήθη, ἅπαντες ἐτυφλώθησαν καὶ δὲν ἔβλεπον ποῦ νὰ ὑπάγωσι. Προσευχηθεῖσα δὲ πάλιν ἐδώρησεν εἰς αὐτούς, διὰ τῆς Θείας χάριτος, τὸ φῶς τῶν ὀφθαλμῶν των. Διὰ τοῦτο ἀφοῦ ἐκάρφωσαν οἱ ἀχάριστοι τὰς πτέρνας τῆς Ἁγίας, ἐφόρτωσαν αὐτὴν μὲ σάκκον πλήρη ἄμμου καὶ οὕτω πεφορτωμένην ἐδίωξαν αὐτὴν βιαίως εἰς τριῶν μιλίων ἀπόστασιν.

Ἐπειδὴ δὲ ἀμέσως τότε ἡ γῆ ἐσχίσθη εἰς δύο καὶ ἐδέχθη ἐντὸς αὐτῆς δέκα χιλιάδας ἀπίστων, τούτου ἕνεκα προσῆλθον εἰς τὴν πίστιν τοῦ Χριστοῦ ἕως τριάκοντα χιλιάδες ἄνθρωποι. Ὁ βασιλεὺς ὅμως ἔμενεν ἐν τῇ ἀπιστίᾳ. Ὅθεν ἐλθὼν Ἄγγελος Κυρίου, ἐκτύπησεν αὐτὸν καὶ τὸν ἐθανάτωσε. Τότε ἡ Ἁγία, λαβοῦσα ἄδειαν, περιεπάτει ἐλευθέρως ἐντὸς τῆς πόλεως καὶ ἐποίει πολλὰ θαύματα. Πορευθεῖσα δὲ καὶ εἰς τὸν πύργον, ὅπου ἦτο ὁ πατὴρ της μετὰ τοῦ Ἱερέως Τιμοθέου, κατώρθωσε διὰ τῆς διδασκαλίας της νὰ προσέλθωσιν εἰς τὴν πίστιν τοῦ Χριστοῦ πέντε χιλιάδες εἰδωλολατρῶν. Μετ' αὐτῶν δὲ ἐπίστευσαν καὶ τριάκοντα τρεῖς ἄνδρες, οἱ ὁποῖοι ἦσαν διωρισμένοι νὰ φυλάττωσι τὸν πύργον, ἅπαντες δὲ οὗτοι ἔλαβον τὸ Ἅγιον Βάπτισμα. Μετὰ ταῦτα ἦλθεν ἡ Ἁγία εἰς τὴν πόλιν τὴν ὀνομαζομένην Καλλίνικον, ὅπου ἦτο ὁ βασιλεὺς Νουμεριανός, συγγενὴς τῶν πρῴην βασιλέων καὶ ἀφοῦ παρουσιάσθη εἰς αὐτόν, ὡμολόγησε τὸν Χριστόν. Ὅθεν ἐνέκλεισαν αὐτὴν ἐντὸς τριῶν χαλκίνων βοῶν πεπυρωμένων καὶ μετέθετον ταύτην ἀπὸ τὸν πρῶτον εἰς τὸν δεύτερον καὶ ἀπὸ τοῦ δευτέρου εἰς τόν τρίτον. Ὁ δὲ τρίτος βοῦς, καίτοι ἄψυχος

ών, παραδόξως περιεπάτησε καὶ ἔπειτα ἐσχίσθη. Ὅθεν ἐξῆλθεν ἡ Ἁγία ἐξ αὐτοῦ ἄφλεκτος καὶ ἀβλαβής. Πολλοὶ δὲ ἄπιστοι ἰδόντες τὸ τοιοῦτον θαυμάσιον, ἐπίστευσαν εἰς τὸν Χριστόν. Ἦσαν δὲ οὗτοι ἕως δέκα μυριάδες. Ὅταν δὲ ὁ βασιλεὺς ἔμελλε νὰ ἀποθάνῃ, παρήγγειλεν εἰς τὸν ἔπαρχον νὰ τιμωρήσῃ μὲ διαφόρους βασάνους τὴν Ἁγίαν· ὁ δὲ ἔπαρχος, δέσας τὴν Μάρτυρα μὲ ἁλύσεις, ἥναψε μεγάλην πυρὰν κάτωθεν αὐτῆς, ἀλλὰ κατελθὼν Ἄγγελος Κυρίου καὶ τὸ πῦρ σβέσας, διεφύλαξε τὴν Ἁγίαν ἀβλαβῆ. Ὅθεν ὁ ἔπαρχος, βλέπων τοῦτο, ἐπίστευσεν εἰς τὸν Χριστὸν μετὰ τῶν οἰκείων του.

Ἀλλ᾽ ἡ φήμη τῶν θαυμασίων τῆς Ἁγίας ἔφθασε καὶ μέχρι τοῦ Σαβωρίου τοῦ τῶν Περσῶν βασιλέως, ὅστις ἔζη κατὰ τοὺς χρόνους τοῦ μεγάλου Κωνσταντίνου ἐν ἔτει 330· οὗτος δὲ προσέταξε νὰ ἀποκεφαλίσωσι τὴν Μάρτυρα. Ἀπεκεφαλίσθη λοιπὸν ἡ τοῦ Χριστοῦ καλλίνικος Εἰρήνη καὶ ἐτέθη ἐντὸς τάφου, ἀλλὰ πάλιν ἀνεστήθη ὑπὸ Θείου Ἀγγέλου, ὁ ὁποῖος ἐμακάρισεν αὐτήν, διότι ἐμαρτύρησεν ὑπὲρ τοῦ Χριστοῦ, ὡς ἐπίσης καὶ ἐκείνους ὅσους ἐπίστευσαν εἰς τὸν Χριστὸν δι᾽ αὐτῆς καὶ ὅσους θὰ μνημονεύωσι τὸ ὄνομά της, ἑορτάζοντες τὴν ἡμέραν τοῦ μαρτυρίου της. Ἀφ᾽ οὗ δὲ ἀνέστη, λέγεται, ὅτι εἰσῆλθεν εἰς τὴν πόλιν τὴν καλουμένην Μεσημβρίαν κρατοῦσα εἰς τὰς χεῖρας της κλάδον ἐλαίας καὶ οὕτω παρουσιάσθη εἰς τὸν βασιλέα. Ὁ ὁποῖος, ἰδὼν αὐτήν, ἐπίστευσεν εἰς τὸν Χριστὸν καὶ ἐβαπτίσθη ὑπὸ τοῦ Πρεσβυτέρου Τιμοθέου μετὰ πολλῶν μυριάδων ἀνθρώπων. Ἔπειτα μετέβη ἡ Ἁγία εἰς τὴν ἰδίαν αὐτῆς πόλιν Μαγεδὼν πρὸς τοὺς γονεῖς της καὶ τὸν μὲν πατέρα της ἐπένθησεν, ὡς προαποθανόντα, ἀφοῦ δὲ εἶδε καὶ ἀπεχαιρέτησε τὴν μητέρα της, ἀνελήφθη ὑπὸ νεφέλης καὶ ἔφθασεν εἰς τὴν Ἔφεσον, ὅπου διέτριψεν ἐπί τινα καιρόν, πλεῖστα θαύματα τελοῦσα καὶ τιμωμένη ὡς ἰσαπόστολος. Μετὰ δὲ ταῦτα συνήντησε τὸν διδάσκαλόν της Ἀπελλιανόν.

Ἀφ᾽ οὗ δὲ ἡ Ἁγία ἐδίδαξε τοὺς ἐν Ἐφέσῳ, παρέλαβε μεθ᾽ ἑαυτῆς μόνους ἓξ καὶ τὸν Ἀπελλιανὸν καὶ ἐξῆλθε τῆς πόλεως τῆς Ἐφέσου· εὑροῦσα δὲ κάπου ἐκεῖ νεώρυκτον τάφον, ἐντὸς τοῦ ὁποίου οὐδεὶς εἶχε ταφῆ, εἰσῆλθεν ἐν αὐτῷ καὶ ἐπὶ τοῦ τάφου αὐτοῦ ἔθεσεν ὁ Ἀπελλιανὸς λίθον. Διέταξε δὲ ἡ Ἁγία, ἔτι ζῶσα, ὅτι ἐπὶ τέσσαρας ἡμέρας νὰ μὴ κινήσῃ τις τὸν λίθον τὸν ὁποῖον ἔμελλε νὰ τοποθετήσῃ ἐπὶ τοῦ τάφου ὁ διδάσκαλός της. Μετὰ δὲ δύο ἡμέρας πορευθεὶς εἰς τὸν τάφον ὁ Ἀπελλιανός, ὢ τοῦ θαύματος! Εὗρεν ἐγηγερμένον τὸν λίθον καὶ μὴ ὑπάρχον ἐκεῖ τὸ σῶμα τῆς Μάρτυρος. Ταῦτα κατὰ μὲν τοὺς ταπεινοὺς καὶ ἀσθενεῖς λογισμοὺς τῶν ἀνθρώπων, ἴσως φανῶσιν ἀπίθανα, εἰς τὸν Θεὸν ὅμως εἶναι τὰ πάντα δυνατά. Ἐκλήθη δὲ ἡ Ἁγία ἵνα δικασθῇ, πρῶτον μὲν ὑπὸ τοῦ πατρός της Λικινίου, δεύτερον ὑπὸ τοῦ Σεδεκίου καὶ Σαβὼρ καὶ Νουμεριανοῦ υἱοῦ Σεβαστιανοῦ, ὡς καὶ ὑπὸ τοῦ ἐπάρχου Βαύδωνος καὶ Σαβωρίου τοῦ βασιλέως τῶν Περσῶν. Αἱ δὲ πόλεις εἰς τὰς ὁποίας ἐμαρτύρησεν εἶναι αὗται. Μαγεδὼν ἡ πατρίς της, Καλλίνικος, Κωνσταντίνα καὶ Μεσημβρία.



Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς ἀθλήσεως τῶν Ἁγίων Μαρτύρων Νεοφύτου, Γαΐου καὶ Γαϊανοῦ. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ καὶ σεβασμίῳ ναῷ τῶν Ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, τῷ ὄντι ἐν τοῖς Δαρείου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἀνάμνησις τῶν ἐγκαινίων τοῦ ναοῦ τῆς Ὑπεραγίας Θεοτόκου ἐν τοῖς Κύρου.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ Ζ΄. Ἀβραμιαῖοί ποτε.

**Σ**τεφανηφόρος Σεμνή, παρισταμένη θρόνῳ τοῦ σοῦ Δεσπότου περιφρούρησον, τοὺς πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

**Ἐ**ν Οὐρανίαις σκηναῖς, περιχορεύειν Μάρτυς, κατηξιώθης ἀξιάγαστε, Εἰρήνη κραυγάζουσα. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

...ΕΙΟΣ ΒΙΒΛΙΟ... ...ΗΤΟΡΗΣ ΠΑΠΑ...

ἱμειρομένη τυχεῖν, τοῦ ἐραστοῦ σου κάλλους, βασάνων πόνους ἐκαρτέρησας, Εἰρήνη κραυγάζουσα. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτόκιον.

Ρήσει χειλέων τῶν σῶν, ἀκολουθοῦντες πίστει, σὲ Θεομῆτορ μακαρίζομεν, βοῶντες τῷ τόκῳ σου, Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Καταβασία. Ὁ παῖδας ἐκ καμίνου ρυσάμενος.
Ὠδὴ Η΄. Παῖδας εὐαγγεῖς.

Ηθλησας Εἰρήνη μακαρία, γενναίως καὶ τοὺς τυράννους καταβέβληκας, ἔχουσα συμπράττουσαν, τὴν ἀκαταμάχητον, τοῦ σοῦ Δεσπότου δύναμιν, καὶ συνεργοῦσάν σοι, καὶ Κύριον ὑμνεῖτε, ἐβόας, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νεᾶνις ἀγάπῃ τετρωμένη, ὀπίσω τοῦ σοῦ Νυμφίου ἠκολούθησας, Εἰρήνη πανένδοξε, τούτου τὰ παθήματα, ἐν τῇ σαρκί σου φέρουσα, καὶ ἀναμέλπουσα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Η σὴ ἐν βασάνοις καρτερία, Εἰρήνη στεφανηφόρε κατεγέλασε, τῶν τῆς ματαιότητος καὶ τῆς ἀθεότητος, ἀντεχομένων ἔνδοξε· πίστει δὲ ἔψαλλες. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτόκιον.

Σοφία Θεοῦ πάντων τεχνῖτις γαστρί σου Παρθενομῆτορ ἐνσκηνώσασα, οἶκον ᾠκοδόμησεν, ἔννουν τε καὶ ἔμψυχον, τὸν ἑαυτῆς καὶ ἔσωσε, κόσμον κραυγάζοντα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα.
Ὠδὴ Θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Κύκλῳ περὶ τὸν σὸν ἐραστὴν χορεύουσα, ἐν ὑψίστοις καλλιπάρθενε αἴτησαι κόσμῳ τὴν Εἰρήνην, Εἰρήνη, καὶ



πταισμάτων τὴν ἄφεσιν, τοῖς πίστει ἐκτελοῦσι τὴν μνήμην σου, τὴν φωτοφόρον καὶ πανίερον.

Ενδον τῆς παστάδος σε Χριστὸς ὡς Μάρτυρα, καὶ Παρθένον κατεσκήνωσεν, ἔνθα Παρθένοις συναγάλλῃ, καὶ σὺν τοῖς τῶν Μαρτύρων στρατεύμασιν, Εἰρήνη στεφανηφόρε πανεύφημε· ὅθεν σὲ πάντες μακαρίζομεν.

Πύλας διανοίξας οὐρανῶν ἐδέξατο, τὴν ψυχήν σου τὴν πανάμωμον, μόνος ὁ πάντων βασιλεύων, καὶ τῆς δικαιοσύνης ὁ πρύτανις, Εἰρήνη, θείας Εἰρήνης ἐπώνυμε· ὅθεν σε πάντες μακαρίζομεν.

Θεοτόκιον.

Εχουσα πρὸς τὸν ἐκ σοῦ Υἱὸν πανάχραντε, παρρησίαν ἀνεπαίσχυντον, τοῦτον δυσώπει Παναγία, τῷ κόσμῳ τὴν εἰρήνην δωρήσασθαι, καὶ πάσαις Ἐκκλησίαις ὁμόνοιαν, ἵνα σὲ πάντες μεγαλύνωμεν.

Καταβασία. Ὁ Ἄγγελος ἐβόα.
Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ρωσθεῖσα καλλιπάρθενε, Σταυρῷ τῷ τοῦ Κυρίου σου, τυράννων ἔλυσας θράσος, ἀθλοῦσα Μάρτυς γενναίως· καὶ πρὸς Χριστοῦ ἀπείληφας βραβεῖα νίκης πάνσεμνε, Εἰρήνη μεγαλώνυμε, ὑπὲρ ἡμῶν δυσωποῦσα, τῶν σὲ τιμώντων ἐκ πόθου.

Ὅμοιον.

Τὴν χάριν τῶν ἰάσεων, ἐκ Θεοῦ δεξαμένη, παρθενομάρτυς Εἰρήνη ἐκ συμφορῶν πολυτρόπων τῶν πίστει προστρεχόντων σοι, τὸν Θεὸν δοξάζουσα, καὶ σὸν Νυμφίον παρθένε.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους Δ΄. καὶ ψάλλομεν στιχηρὰ τῆς Ἁγίας, δευτεροῦντες τὸ πρῶτον.

Ἦχος Α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν φιλεόρτων τὰ πλήθη, δεῦτε συνδράμωμεν, τῇ

μνήμῃ τῆς ἐνδόξου καὶ σεπτῆς ἀθληφόρου. Εἰρήνη νῦν ἡ Μάρτυς, πάντας ἡμᾶς συνεκάλεσε σήμερον, εἰς εὐτυχίαν ἀθάνατον τὰς αὐτῆς ἀριστείας παραθέμενοι. (Δὶς)

Τὴν Ἱεράν σου εἰκόνα κατασπαζόμεθα, νῦν αἰσθητῶς ἁγία, νοερῶς δὲ τὰ θεῖα, λείψανά σου πάντες ἀπὸ ψυχῆς, προσκυνοῦμεν καλλίνικε, ἐκδυσωποῦντες σε βλάβης παντοδαπῆς, καὶ κινδύνων ἡμᾶς ῥύεσθαι.

Εἰρήνης νῦν τῆς Παρθένου, δεῦτε συνέλθωμεν, ἐν τῷ Ναῷ τῷ Θείῳ καὶ αὐτῆς τὴν εἰκόνα, τὴν πάνσεπτον σὺν φόβῳ, καὶ χαρμονὴν προσκυνήσωμεν ἅπαντες, καθικετεύοντες, ταύτην πάσης ὀργῆς, καὶ ἀνάγκης ἡμᾶς ῥύεσθαι.

Δόξα. Ἦχος Πλ. Β΄.

Ῥηγνυμένης σαρκός, οὐδόλως ἐφρόντισας, παρθενομάρτυς Εἰρήνη πανένδοξε, ἀλλὰ τραυμάτων, μαστιξί τε καὶ ἄλλοις προθύμως ἐκδέδωκας διὰ τὴν ἄ ω λαμπρότητα. Ὅθεν Χριστὸς ὁ Νυμφίος σου καὶ στεφανοθέτης στεφάνῳ διπλῷ σε, κατέστεψε τῆς παρθενίας τε καὶ ἀθλήσεως, αὐτὸν οὖν ἱκέτευε ῥυσθῆναι ἡμᾶς, ἀπὸ πάσης προσβολῆς ἐναντίας καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν τῆς Ἑορτῆς.

Δοξολογία Μεγάλη, καὶ Ἀπολυτίκιον τῆς Ἁγίας.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀντίφωνα τοῦ Πάσχα. Εἰσοδικόν. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ἀπολυτίκιον τῆς ἑορτῆς, τῆς Ἁγίας, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον τῆς τυχούσης ἑορτῆς. Τρισάγιον.

Ο ΑΠΟΣΤΟΛΟΣ Προκείμενον. Ἦχος Δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Θεσσαλονικεῖς Β΄. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, ἡμεῖς ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ Θεὸς ἀπ᾿ ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ Πνεύματος καὶ πίστει ἀληθείας· εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ Εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἄρα οὖν, ἀδελφοί, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι᾿ ἐπιστολῆς ἡμῶν. Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ ὁ Θεὸς καὶ Πατὴρ ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς, καὶ δοὺς παράκλησιν αἰωνίαν, καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι, παρακαλέσαι ὑμῶν τὰς καρδίας, καὶ στηρίξαι ὑμᾶς ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ. Τὸ λοιπὸν προσεύχεσθε, ἀδελφοί, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχει καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς, καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων· οὐ γὰρ πάντων ἡ πίστις. Πιστὸς δὲ ἐστὶν ὁ Κύριος, ὃς στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. Πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ᾿ ἡμᾶς, ὅτι ἃ παραγγέλλομεν ὑμῖν, καὶ ποιῆτε, καὶ ποιήσατε. Ὁ δὲ Κύριος κατευθύνοι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ. Ἀμήν.



Εὐαγγέλιον τῆς Λειτουργίας. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦ εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. Καὶ ἰδοὺ γυνὴ Χαναναία, ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγασεν αὐτῷ, λέγουσα. Ἐλέησόν με, Κύριε, υἱὲ Δαβίδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ Μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτόν, λέγοντες. Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐκ ἀπεστάλην εἰμὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ἡ δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ λέγουσα· Κύριε, βοήθει μοι. Ὁ δὲ ἀποκριθεὶς εἶπεν. Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δὲ εἶπε· Ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς,

εἶπεν αὐτῇ. Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γεννηθήτω σοι ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

Εἰς τὰ Δίπτυχα Μεγαλυνάριαν τῆς ἁγίας.

Δεῦτε φιλομάρτυρες εὐλαβῶς πλέξωμεν στεφάνους ἐξ ἀνθέων ἐαρινῶν, ἐν ἀγαλλιάσει, καὶ στέψωμεν ἐνθέως, Εἰρήνην τὴν Ἁγίαν, ἣν μεγαλύνωμεν.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.
Ἢ τὰ παρόντα Μακαριστήρια.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνομεν σε, ὦ Εἰρήνη μάρτυς.

Φιλομαρτύρων δῆμος, ἀθροίσθητε ὑμνῆσαι τὴν νύμφην τοῦ Κυρίου.

Ὠμότητα τυράννων, καὶ ἀπειλὰς ὦ μάρτυς, οὐδόλως ἐπτοήθης.

Εἱρκτὴν παρθενομάρτυς, καὶ αἰκισμοὺς ὑπέστης ὑπὲρ τοῦ σοῦ νυμφίου.

Τροφὴν ὁ σὸς νυμφίος, ἐν τῇ εἱρκτῇ σου πέμπει, πάνσοφε οὐρανόθεν.

Τάγμα τῶν Ἀγγέλων ὦ μάρτυς ἐν σταδίῳ ὁρῶν σε ἐξεπλάγη.

Ὦ θαύματος μεγίστου! πῶς τὴν τροφὴν λαμβάνει, ἐξ οὐρανοῦ ἡ μάρτυς.

Ὑπὲρ τῶν σὲ τιμώντων, ἀεὶ τὸν σὸν νυμφίον, πανένδοξε, δυσώπει.

Βασάνους δριμυτάτας ὑπέμεινας γενναίως ὑπὲρ Χριστοῦ Εἰρήνη.

Γένος ὀρθοδόξων Εἰρήνη ἑορτάζει, σήμερον σοὺς ἀγῶνας.

Θαυμάτων κόρη χάριν, παρὰ Χριστοῦ ἐδέξω, Εἰρήνη ἀθλοφόρε.

Ἐκ νόσων καὶ κινδύνων, ταῖς σαῖς εὐχαῖς Εἰρήνη, λύτρωσαι τοὺς σοὺς δούλους.

Λειψάνων σου τὴν θήκην, πιστῶς νῦν προσκυνοῦμεν, Εἰρήνη ἀθλοφόρε.



Μαρτύρων καὶ παρθένων, ὡράϊσμα καὶ κλέος, Εἰρήνη σὺ ὑπάρχεις.

Εἰρήνη ἀθληφόρε ἱλέωσαι τὸν κτίστην, ἡμῶν ταῖς σαῖς πρεσβείαις.

Πανευλαβῶς Εἰρήνη, προστρέχομεν Ναῷ σου, σὲ εὐφημοῦντας ὕμνοις. Δόξα Πατρί.

Χριστέ μου ἀθλοθέτα Εἰρήνη ταῖς πρεσβείαις, σῶσον ἡμᾶς τοὺς πάντας. Καὶ νῦν καὶ ἀεί.

Παρθένε Θεοτόκε, μετὰ τῆς ἀθληφόρου, τὸν σὸν Υἱὸν δυσώπει.

Χριστὸς ἀνέστη. Επῖ τὸ ὄνομα Κυρίου καὶ ἀπόλυσις.

## ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
### ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ
## ΕΙΡΗΝΗΝ

Μετὰ τὸν Εὐλογητόν, τὸ Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς τῆς εἰρήνης τῆς ἐνθέου ἐπώνυμος, τὸν Εἰρηνάρχην καὶ Θεὸν ἐκδυσώπησον, Εἰρήνη εἰρηνώνυμε, δωρήσασθαι ἡμῖν τοῖς πίστει ἀνυμνοῦσί σε τὴν εἰρήνην, καὶ παῦσαι ἀνοήτους ἔριδας, καὶ Σατὰν διαλῦσαι τὰς πολυπλόκους πλεκτάνας, ἵνα σε ἀεὶ ὡς Ἀθληφόρον, Εἰρήνη γεραίρομεν·

Δόξα, καὶ νῦν Θεοτόκιον. Οὐ σιωπήσομεν. .
Ὁ Ν΄. Καὶ ὁ Κανὼν Ἦχος Πλ. Δ΄. οὗ ἡ Ἀκροστιχίς.
«Σαῖς λιταῖς ἡμᾶς Εἰρηνώνυμε, ἀεὶ σκέπε.»
Ὠδὴ Α΄. Ὑγρὰν διοδεύσας.

Στεφάνῳ κοσμηθεῖσα μαρτυρικῷ, καὶ ἐνηδομένη σὺν Παρθένοις ἐν Οὐρανῷ, δώρησαι εἰρήνην ταῖς λιταῖς σου, τοῖς σὲ ὑμνοῦσι, καὶ δόξαν ἀμάραντον.

Ἀξίως τὸ στέφος χειρὶ Θεοῦ ἐδέξω, Εἰρήνη, καὶ τῷ θρόνῳ αὐτοῦ ἀεὶ παρίστασαι, εἰρήνην δυσωποῦσα διηνεκῆ ἡμῖν πᾶσι δωρήσασθαι.

Ιλάσθητι, Εἰρήνη, τοῖς ταπεινοῖς, καὶ τὸν σὸν Νυμφίον ἐκδυσώπησον καὶ Θεόν, εἰρήνην δωρήσασθαι τὴν θείαν ταῖς Ἐκκλησίαις καὶ τὴν ὁμόνοιαν.

Θεοτόκιον.

Συνέτισον τὸν δοῦλόν σου, Μαριάμ, καὶ δός μοι εἰρήνην, ἱκεσίαις σου ἱεραῖς, καὶ δαιμόνων ῥῦσαί με ἀπάτης, τὸν Εἰρηνάρχην Θεὸν ἡ γεννήσασα.

Ὠδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα. Ἁγία τοῦ Θεοῦ...

Ἡμῖν τοῖς γεραίρουσι τὰ ὑπὲρ λόγον σου σκάμματα, καὶ τοὺς σεπτούς, Εἰρήνη, ἀγῶνας, δὸς λιταῖς σου ὁμόνοιαν.

Μεγάλα τὰ ἆθλά σου, Μεγαλομάρτυς Εἰρήνη Πάνσοφε, ῥῦσαι διὸ λιταῖς σου ἐρίδων καὶ δεινῶν τοὺς οἰκέτας σου.

Ἀνδρείας Πανθαύμαστε, καὶ σωφροσύνης ὤφθης ὑπόδειγμα· ὅθεν κἀμὲ σωφρονεῖν λιταῖς σου, ὦ Εἰρήνη, ἀξίωσον.

Θεοτόκιον.

Σὺ εἶ Παναμώμητε, τῶν Ὀρθοδόξων τὸ καύχημα, σὺ εἶ Ἁγνή, ὄνομα καὶ πρᾶγμα τὸ γλυκὺ καὶ θαυμάσιον.

Ὠδὴ Δ'. Εἰσακήκοα Κύριε...

Λαμπρυνθεῖσα ἐλλάμψεσι Πνεύματος τοῦ θείου, ὦ Εἰρηνώνυμε, τὴν καρδίαν μου καταύγασον αἴγλῃ Οὐρανίᾳ ἱκεσίας σου.

Ἰσχυρόν με ἀπέργασαι κατὰ τῶν δαιμόνων, Εἰρήνη Ἔνδοξε, καταστρέφειν μηχανήματα καὶ αὐτῶν τοὺς δόλους ταῖς πρεσβείαις σου.

Ταῖς φωσφόροις ἐλλάμψεσιν, ὦ νῦν ἀπολαύεις, Εἰρήνη Πάνσεμνε, ἀπολαῦσαι ταῖς πρεσβείαις σου, πάντας τοὺς τιμῶντάς σε ἀξίωσον.

Θεοτόκιον.

Ἀπειρόγαμε Δέσποινα, πᾶσι τοῖς πιστῶς Θεοτόκον σε, Ἀειπάρθενον γνωρίζουσι, τῶν πλημμελημάτων δὸς τὴν ἄφεσιν.



Ὠδὴ Ε'. Φώτισον ἡμᾶς.

Ἴσχυσας ἐχθρῶν καταλῦσαι τὰ φρυάγματα· διὸ καὶ τὸν οἰκέτην σου κατ' ἐχθρῶν, Εἰρήνη Μάρτυς, τροπαιοῦχον σὺ ἀνάδειξον.

Σῶσον τοὺς εἰς σέ, Εἰρηνώνυμε, προσφεύγοντας, καὶ τῶν τεχνασμάτων τοῦ πονηροῦ, ταῖς ἱκεσίαις σου ταχέως ἐλευθέρωσον.

Εἰρήνης τῆς σεπτῆς σὺ ὑπάρχουσα ἐπώνυμος, πάντας εἰρηνεύειν δούλους τοὺς σούς, Εἰρήνη Μάρτυς, ταῖς πρεσβείαις σου ἀξίωσον.

Θεοτόκιον.

Ἵλεων, Ἁγνή, τὸν σὸν Τόκον, καθικέτευσον, γενέσθαι μοι ἐν Κρίσει τῷ ταπεινῷ, καὶ τῆς μερίδος τῶν δικαίων ἀξιῶσαί με.

Ὠδὴ ΣΤ'. Ἱλάσθητί μοι.

Ῥωσθεῖσα τοῦ Παντουργοῦ, σθένει, Εἰρήνη Θεόσοφε, Τυράννων τὰς ἀπειλάς, σοφῶς κατεφρόνησας, κἀμὲ οὖν ἀξίωσον, Σατὰν διαλῦσαι τὰ τεχνάσματα, πρεσβείαις σου.

Ἠράσθης τῆς ὑπὲρ νοῦν φωτοχυσίας, Πανεύφημε, καὶ πάντων τῶν ἐπὶ γῆς ἀγαθῶν ἠλόγησας· κἀμὲ οὖν ἀξίωσον θείαις φωταυγίαις ἐλλαμφθῆναι, ἱκεσίαις σου.

Νῦν ταῖς Παρθένοις, Σεμνή, ἀγαλλομένη εἰς ἄληκτον τῆς Βασιλείας Χριστοῦ βίον, Εἰρηνώνυμε, μὴ παύσῃ πρεσβεύουσα, ὑπὲρ ὁμονοίας καὶ Εἰρήνης τῶν ὑμνούντων σε.

Θεοτόκιον.

Ὡς μόνη εὐσυμπαθὴς τὸν ἀσυμπάθητον δοῦλόν σου, οἰκτείρησον δωρεάν, Παρθένε Πανάμωμε, τὸν ἀμέτρως πταίσαντα, καὶ ἐν ῥαθυμίᾳ βίον ὅλον δαπανήσαντα.

Διάσωσον ἀπὸ παντοίων ἐρίδων καὶ ἐπηρείας δαιμόνων τοὺς ἀνυμνοῦντάς σε, Εἰρήνη Πανεύφημε, ταῖς θείαις πρὸς τὸν Εἰρηνάρχην εὐχαῖς σου.

Καὶ Θεοτόκιον. Ἄχραντε...

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον. Ἦχος Β΄.

Εἰρήνης σεπτῆς, Εἰρήνη ἐπώνυμε, θαυμάτων πηγὴ καὶ Ἀθληφόρων εὔκλεια, ἐκτενῶς βοῶμέν σοι, ταχέως Εἰρηνώνυμε πρόφθασον, καὶ ἐξ ἐρίδων λύτρωσαι ἡμᾶς, εἰρήνην διηνεκῆ ἡμῖν δωρουμένη καὶ ὁμόνοιαν, ταῖς πρὸς τὸν Εἰρηνάρχην θερμαῖς ἱκεσίαις σου.

Καὶ εὐθὺς τὸ Προκείμενον. Ἦχος Δ΄.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς... κτλ. (Ζήτει τῇ Β΄. τῆς ΙΕ΄. Ἑβδομάδος).

Δόξα. Ταῖς τῆς Ἀθληφόρου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον.

Ἦχος Πλ. Β΄. Ὅλην ἀποθέμενοι....

Εἰρήνη Καλλιπάρθενε, τῶν Ἀθληφόρων τὸ κλέος, εἰρήνης ἐπώνυμε, δέξαι τὰς δεήσεις καὶ ἱκεσίας μου, εὐμενῶς ταύτας δὲ πρὸς τὸν Εἰρηνάρχην προσκομίζουσα δεήθητι τοῦ παρασχεῖν ἡμῖν εἰρήνην, Παρθένε, τὴν ἔνθεον, καὶ πάσας ἀπελάσαι νῦν δεινὰς προσβολὰς τοῦ ἀλάστορος· ὅπως εὐχαρίστως τοὺς ἄθλους σου γεραίρωμεν ἀεί, ὑπὲρ Χριστοῦ οὓς ὑπέμεινας καὶ τὰ κατορθώματα.

Ὠδὴ Ζ΄. Παῖδες Ἑβραίων.

Νῦν καθορῶσα, ὦ Εἰρήνη, πρόσωπον πρὸς πρόσωπον τῶν ἀγαθῶν τὸ ἄκρον, ταῖς θερμαῖς σου λιταῖς ἀγάθυνον τὸν βίον, τῶν ἀνυμνούντων πίστει σε, καὶ παράσχου τὴν εἰρήνην.

Ὕμνοις τιμῶντες τὴν σὴν Μνήμην, Εἰρηνώνυμε Εἰρήνη, οἱ σοὶ δοῦλοι, ταπεινῶς καὶ θερμῶς δεόμεθα ρυσθῆναι, πυρὸς τοῦ αἰωνίζοντος, ταῖς ἁγίαις σου πρεσβείαις.

Μάρτυς Εἰρήνη, καὶ Εἰρήνης τῆς ἐνθέου ἐπώνυμε, σοῖς δούλοις, τὸν εἰρήνης Θεὸν ἱκέτευε, εἰρήνην, διηνεκῆ δωρήσασθαι· ἵνα πόθῳ σε ὑμνῶμεν.



Θεοτόκιον.

Εὕροιμί σε ταχὺ ἐξαιρουμένην, ὦ Παρθένε, τῆς Κρίσεως ἐν ὥρᾳ, καταδίκης πικρᾶς τὸν σὸν οἰκτρὸν οἰκέτην, τὸν Τόκον σου τὸν ἄρρητον εὐσεβῶς ὑπερυμνοῦντα.

Ὠδὴ Η΄. Τὸν Βασιλέα.

Ἀγάπῃ θείᾳ, Εἰρηνώνυμε Μάρτυς, τοὺς σοὺς δούλους κοσμῆσαι ἐκδυσώπει, τὸν Θεὸν εἰρήνης, ἵνα σε μακαρίζω.

Εἰρήνη Μάρτυς, τὸν Εἰρηνάρχην δυσώπει, εἰρηνεῦσαι τὰς Ἐκκλησίας πάσας, καὶ τὰς διεστώσας ἑνῶσαι σαῖς πρεσβείαις.

Ἵνα Εἰρήνη ἀδιαλείπτως ὑμνῶσε, τὴν εἰρήνην παράσχου τῷ σῷ δούλῳ, ταῖς πρὸς τὸν Δεσπότην ἁγίαις σου πρεσβείαις.

Θεοτόκιον.

Σκέπη γενοῦ μοι καὶ καταφύγιον, Κόρη, τῷ ἐν πίστει προστρέχοντί σοι δούλῳ, καὶ τῆς τρικυμίας διάσωσον τοῦ βίου.

Ὠδὴ Θ΄. Κυρίως Θεοτόκον.

Κύκλῳ τοῦ νυμφίου χορεύουσα, Εἰρήνη, τοῦ Οὐρανίου σου, πίστει τοῖς Μνήμην σου τὴν φωτοφόρον τελοῦσιν, εἰρήνην αἴτησαι.

Ἐν θαύμασιν ἀπείροις, Εἰρήνη θεόφρον, ὁ Εἰρηνάρχης Θεὸς σὲ ἐδόξασε· τοῦτον θερμῶς ἐκδυσώπει ὑπὲρ τῶν δούλων σου.

Παράσχου τὴν εἰρήνην, Εἰρήνη θεόφρον, ταῖς ἱεραῖς σου πρεσβείαις δεόμεθα, τοῖς εὐσεβῶς ἀνυμνοῦσι τὴν θείαν Μνήμην σου.

Θεοτόκιον.

Ἔχουσα, Παρθένε, πολλὴν παρρησίαν πρὸς τὸν Υἱόν σου, δυσώπει δωρήσασθαι, ταῖς Ἐκκλησίαις εἰρήνην τε καὶ ὁμόνοιαν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τό, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Δέησιν προσάγαγε τῷ Θεῷ, Εἰρήνη θεόφρον, παρασχεῖν τοῖς ἁμαρτωλοῖς, ἄφεσιν πταισμάτων καὶ δεινῶν σωτηρίαν, τοῖς πίστει θερμοτάτῃ σοὶ καταφεύγουσι.

Διηνεκῆ Εἰρήνην παράσχου νῦν, πρὸς τὸν Εἰρηνάρχην θερμοτάταις σου ταῖς λιταῖς, Εἰρήνη, εἰρήνης τῆς ἀληθοῦς καὶ θείας ἐπώνυμε, καὶ Μάρτυς τοῦ Παντοκράτορος.

Καὶ Θεοτόκιον. Πᾶσαι τῶν Ἀγγέλων.
Τὸ Τρισάγιον. Καὶ τὸ Ἀπολυτίκιον Ἦχος Δ΄.

Κρουνοῖς τῶν αἱμάτων σου τὴν Ἐκκλησίαν Χριστοῦ, πηγὴ ὡς ἀκένωτος, πᾶσαν κατήρδευσας, Εἰρήνη Εἰρηνώνυμε· ἔσωσας ἐν τῷ Κόσμῳ, τῶν θαυμάτων σου αἴγλη, εἰδωλικῆς μανίας μυριάδας ἀνθρώπων· διὸ ἐν παρρησίᾳ Χριστῷ τῷ Νυμφίῳ σου, πρέσβευε εἰρήνην ἡμῖν δωρήσασθαι.

Ὁ Ἱερεὺς μνημονεύει.
Ἐν τῇ ἀπολύσει ψάλλομεν τὸ παρὸν Ἦχος Β΄.
Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε φιλοπάρθενοι πιστῶς, δεῦτε ἐν ᾠδαῖς ἀσιγήτοις δοξολογήσωμεν τὴν Παρθενομάρτυρα, Εἰρήνην τὴν εὐκλεῆ, πρὸς αὐτὴν ἀνακράζοντες, ῥῦσαι ταῖς λιταῖς σου Εἰρήνη Εἰρηνώνυμε, τοὺς σοὶ προστρέχοντας, πάσης προσβολῆς τοῦ Βελίαρ, καὶ τὸν Εἰρηνάρχην δυσώπει, δοῦναι τὴν Εἰρήνην τοῖς ὑμνοῦσί σε.

ΣΥΛΛΟΓΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝ... ΑΝΑΓΝΩΣΤΗΡΙΟΥ

"ΤΑΞΙΣ ΔΙΑΦΟΡΩΝ ΔΟΞΟΛΟΓΙΩΝ" Περιέχει τὰς δοξολογίας ἐπὶ τῇ 1ῃ τοῦ Νέου ἔτους, 25ῃ Μαρτίου καὶ 28ῃ Ὀκτωβρίου, ἐπὶ τῇ ὀνομαστικῇ ἑορτῇ τοῦ Βασιλέως, τὴν Λιτανίαν κατὰ τὴν Κυριακὴν τῆς Ὀρθοδοξίας, τοὺς ἁγιασμοὺς ἐπὶ τῇ ἐνάρξει τῶν μαθημάτων εἰς τὰ σχολεῖα καὶ τὰς ἐργασίας, τὴν ὁρκωμοσίαν τῶν νεοσυλλέκτων καὶ πολλὰ ἄλλα, τὰ ὁποῖα πολὺ διευκολύνουν τὸν ἱερέα, εἰς τὴν ἐκτέλεσιν τῶν καθηκόντων του.

"Η ΜΕΓΑΛΗ ΕΒΔΟΜΑΣ" Κατὰ τὸ τυπικόν τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας. Δίχρωμος ἐπὶ ἀρίστου χάρτου. Διὰ τὴν σύνταξιν τοῦ παρόντος ἔργου ἐλήφθησαν ὑπ' ὄψιν ὅλα τὰ λειτουργικὰ βιβλία, τὸ τυπικὸν καὶ λοιπὰ στοιχεῖα. Ἐσημειώθησαν αἱ κατ' ἔθος διατάξεις καὶ διατυπώσεις καὶ οὐδὲν παρελείφθη, εἰς τρόπον ὥστε νὰ καταστῇ τὸ ἔργον ἀρτιώτερον ἐξ ὅλων τῶν μέχρι τοῦδε ἐκδόσεων. Ζητήσατε τὴν «Ἁγίαν καὶ Μεγάλην Ἑβδομάδα», ἔκδοσιν ΡΗΓΟΠΟΥΛΟΥ.

"Ο ΔΙΑΛΟΓΟΣ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΕΝΤΙΟΥ" Εἰς τὸ ἔργον τοῦτο περιέχεται ὁλόκληρος ὁ διάλογος τοῦ ἁγίου τούτου ἀνδρὸς μετὰ τοῦ Ἑβραίου Νομοδιδασκάλου Ἑρβὰν διὰ τὴν ἀληθῆ πίστιν τοῦ Χριστοῦ. Τὸ βιβλίον τοῦτο ἔχει ἰδιαιτέραν σημασίαν διὰ κάθε μελετητὴν τῆς Ἁγίας Γραφῆς, διότι δὲν ἀφίνει οὐδεμίαν λεπτομέρειαν τοῦ βίου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ποῦ νὰ μὴ εὑρίσκεται εἰς τὴν Π. Διαθήκην. Εἶναι δὲ πλουτισμένον καὶ μὲ πολλὰς σημειώσεις καὶ παρατηρήσεις, ὥστε δικαίως ἀπεκλήθη ταμεῖον θεολογικῶν γνώσεων.

Ο ΘΗΣΑΥΡΟΣ ΤΩΝ ΑΓΙΩΝ Περιέχων Παρακλήσεις εἰς διαφόρους ἁγίους. Βιβλίον ἀπαραίτητον διὰ κάθε ἐκκλησίαν, καὶ καθε χριστιανικὴν οἰκογένειαν, διότι ἡ παράκλησις καὶ ἡ προσευχὴ εἶναι νῆμα τὸ ὁποῖον μᾶς συνδέει μὲ τὸν Θεὸν καὶ ζητοῦμεν παρ' αὐτοῦ τὴν εὐλογίαν.

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ (Ὀλύμπου).
ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΣΤΥΛΙΑΝΟΥ
ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΦΑΝΟΥΡΙΟΥ
ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΓΙΑΣ ΕΙΡΗΝΗΣ
ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΓΙΑΣ ΚΥΡΙΑΚΗΣ
ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΓΙΑΣ ΕΙΡΗΝΗΣ (Χρυσοβαλάντου).